εἶναι πάντοτε τὸ Γινόμενον ἐκ τῶν Πηλίκων τῶν Συντεθέντων λόγων. οἷον τὰ μὲν Πηλίκα τῶν 3 : 6, κ) 4 : 16 Συντεθέντων λόγων εἰσὶν ὁ 2 κ) 4. τὸ δὲ Πηλίκον τοῦ Συνθέτου λόγου ἐστὶν ὁ 8, τὸ ἐκ τοῦ 2 κ) 4 δηλονότι Γινόμενον. Ἔστωσαν ἔτι κ) διὰ Γραμμάτων δύω λόγοι α : β, κ) γ : ε, ὁ δὲ Ἐκθέτης, ἢ τὸ Πηλίκον τοῦ Πρώτου λόγου ἔστω μ, τοῦ δὲ δευτέρου ἔστω ν. ὅθεν κατὰ τὸ γ'. Πόρισμα ὁ μὲν πρῶτος λόγος μεταποιεῖται εἰς τὸν α : αμ. ὁ δὲ δεύτερος λόγος εἰς τὸν γ . γν. κ) τούτων πολλαπλασιασθέντων ὡς εἴρηται, προκύπτει ὁ ἑξῆς Σύνθετος λόγος. αγ : αγμν, ὁ δὲ τούτου Ἐκθέτης ἔσται μν. ὁ δὲ λόγος ὁ Συντεθειμένος ἐκ δύω Ἴσων λόγων, καλεῖται Διπλασίων, ἢ Τετραγωνικὸς λόγος, κ) ὁ Ἐκθέτης τούτου εἶναι τὸ Τετράγωνον τοῦ ἑνὸς κ) τοῦ αὐτοῦ ὄντος Ἐκθέτου τῶν οὕτως Ἴσων λόγων. ἐπειδὴ ὁ Ἐκθέτης ἑνὸς Συνθέτου λόγου εἶναι αὐτὸ τὸ Γινόμενον, τὸ ὁποῖον παράγεται ἐκ τῶν Ἐκθετῶν τῶν Συντεθέντων λόγων. ἀλλὰ μὴν ἐπὶ τῶν Ἴσων λόγων εἶναι κ) εἰς τὰ δύω Μέρη ὁ αὐτὸς Ἐκθέτης, ἄρα ἀφ' οὗ πολλαπλασιασθῇ οὗτος ὁ Ἐκθέτης ἐφ' ἑαυτὸν, γίνεται

νεται ἓν Τετράγωνον· ϗ εἶναι ἄρα ὁ Ἐκθέτης ἑνὸς Διπλασίονος λόγȣ. καθὼς ἐκ τῶν 2 : 4, ϗ 3 : 6 γίνεται Σύνθετος λόγος 6 : 24, τȣ̃ ὁποίȣ λόγȣ ὁ Ἐκθέτης εἶναι 4, τȣτέστι τὸ Τετράγωνον τȣ̃ ἁπλȣ̃ Ἐκθέτȣ 2. ὡσαύτως ϗ διὰ Γραμμάτων ἐκ δύω Ἴσων λόγων α : απ, ϗ β : βπ ἀναφύεται ὁ Σύνθετος λόγος αβ : αβππ, τȣ̃ ὁποίȣ Ἐκθέτης εἶναι ππ, τὸ ὁποῖον εἶναι τὸ Τετράγωνον τȣ̃ ἑνὸς μόνȣ τῶν Ἐκθετῶν. ἄρα κ. τ. Ἐὰν δὲ τρεῖς Ἴσοι λόγοι μετ᾽ ἀλλήλων πολλαπλασιασθῶσιν, ἀναφύεται ὁ καλȣ́μενος Τριπλασίων, ἢ Κυβικὸς λόγος, ὁ δὲ τȣ́τȣ Ἐκθέτης ἐστὶν ὁ Κύβος τȣ̃ ἑνὸς μόνȣ τῶν Ἐκθετῶν. καθὼς ἐκ τῶν 2 : 4, ϗ 3 : 6, ϗ 4 : 8 λόγων προκύπτει Σύνθετος λόγος 24 : 192, τȣ̃ ὁποίȣ Ἐκθέτης εἶναι ὁ 8, ὁ Κύβος δηλαδὴ τȣ̃ ἑνὸς ϗ μόνȣ τῶν Ἐκθετῶν. ὡσαύτως ϗ διὰ Γραμμάτων ἐκ τῶν α : απ, ϗ β : βπ, ϗ γ : γπ λόγων γίνεται Σύνθετος λόγος αβγ : αβγπππ, τȣ̃ ὁποίȣ Ἐκθέτης ὑπάρχει π^3 ὁ Κύβος τȣ̃ ἑνὸς μόνȣ Ἐκθέτȣ π. ϗ ὅτως ἀκολȣ́θως δύναταί τις νὰ συνθέτῃ ϗ Τετραπλασίονας, ϗ Πενταπλασίονας κ. τ. λόγȣς.

ΘΕΩ-

ΘΕΩ'ΡΗΜΑ.

§. 148. Οἱ Ὅροι ἑνὸς Γεωμετρικȣ̃ λόγȣ κἄντε πολλαπλασιασθῶσι, κἄντε διαιρεθῶσιν ὑπὸ τȣ̃ Ἰδίȣ ἀριθμȣ̃, ἢ Μεγέθȣς, ὁ λόγος τȣ́των δὲν μεταβάλλεται.

ΔΕΙ'ΞΙΣ.

Ἕκαστος Γεωμετρικὸς λόγος δύναται νὰ θεωρηθῇ ὡς Κλάσμα (137). ἀλλ᾽ ἐπειδὴ εἴτε ὁ ἀριθμητὴς, εἴτε ὁ Παρονομαστὴς πολλαπλασιασθῇ, ἢ διαιρεθῇ ὑπὸ τȣ̃ Ἰδίȣ ἀριθμȣ̃, ἡ Δύναμις τȣ̃ Κλάσματος δὲν μεταβάλλεται (§. 70. ἀριθμ.). ἄρα ἡ Δύναμις ἑνὸς Γεωμετρικȣ̃ λόγȣ δὲν μεταβάλλεται.

ΚΕΦΑ'ΛΑΙΟΝ η'.

Περὶ ἀναλογίας.

Ο'ΡΙΣΜΟ'Σ α'.

§. 149. Ἀναλογία καλεῖται ἐν γένει ἡ Παράθεσις δύω Ἴσων λόγων. αὕτη δὲ ἡ ἀναλογία εἶναι διττὴ, ἀριθμητικὴ δηλονότι ϗ Γεωμετρικὴ, ϗ ἀριθμητικὴ μὲν ἀναλογία εἶναι, ὅταν ἀριθμητικοὶ λόγοι παραβάλλωνται πρὸς ἀλλή-

ἀλλήλους. Γεωμετρικὴ δέ εἶναι, ὅτε Γεωμετρικοὶ λόγοι παραθέτονται πρὸς ἀλλήλους. ὅθεν ἅπαντας τοὺς λόγους, οἱ ὁποῖοι ἔχουσι τὴν αὐτὴν Διαφορὰν, ἢ τὸ αὐτὸ Πηλίκον, δυνάμεθα νὰ κατατάξωμεν εἰς τάξιν ἀναλογίας, καὶ νὰ τοὺς συνθέσωμεν, παρενθέτοντες μεταξὺ τούτων τὸ Σημεῖον τῆς Ἰσότητος· οἷον ἐκ μὲν τῶν δύω τούτων Ἴσων λόγων $3 - 7$, καὶ $5 - 9$ γίνεται αὕτη ἡ ἀριθμητικὴ ἀναλογία $3 - 7 = 5 - 9$. ἐκ δὲ τῶν δύω τούτων. $3 : 9$, καὶ $4 : 12$ ἀποκαθίσταται Γεωμ. ἀναλογία $3 : = 4 : 12$. ὁ τρόπος ταύτης τῆς Παραθέσεως ἐπὶ μὲν τῆς ἀριθμητικῆς ἀναλογίας ἐκφωνεῖται οὕτως,, Ὁ 3 πρὸς τὸν 7 ἔχει ἀριθμητικῶς τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχει ὁ 5 πρὸς τὸν 9. ἐπὶ δὲ τῆς Γεωμετρικῆς ἀναλογίας ἐκφράζεται οὕτως,, Ὁ 3 πρὸς τὸν 9 ἔχει τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχει ὁ 4 πρὸς τὸν 12, ἢ συντομώτερον οὕτως,, ὡς 3 πρὸς 9, οὕτως 4 πρὸς 12. Εἰς τὴν Γεωμετρικὴν ἀναλογίαν ἡ λέξις ΓΕΩΜΕΤΡΙΚΩΣ δὲν λέγεται. ἐπειδὴ εἰς κάθε ἀναλογίαν, εἰς τὴν ὁποίαν δὲν ἀπαντᾶται αὕτη ἡ λέξις, ἐννοεῖται, ὅτι ἡ ἀναλογία εἶναι Γεωμετρική.

ΠΟ-

ΠΟΡΙΣΜΑ α.

§. 150. Ἑκάστη λοιπὸν ἀναλογία συνίσταται ἐκ τεσσάρων Ὅρων, δηλαδὴ ἐκ δύω Ἡγουμένων, καὶ ἐκ δύω Ἑπομένων. Ὁ Πρῶτος, καὶ ὁ Τέταρτος Ὅρος λέγονται ἄκραι, ἢ ἄκροι, ὁ δὲ Δεύτερος, καὶ Τρίτος Ὅρος ὀνομάζονται Μέσοι.

ΠΟΡΙΣΜΑ β.

§. 151. Ὅ,τι περὶ τῶν λόγων (§. 144.) προείρηται, τὸ Ἴδιον δύναται νὰ λεχθῇ καὶ περὶ τῶν ἀναλογιῶν, τουτέστιν ὅταν οἱ Ἡγούμενοι Ὅροι ἔχωσι πρὸς τοὺς Ἑπομένους τὸν αὐτὸν λόγον, καθὼς εἰς τὰς ἀνωτέρω ἀναλογίας, τότε ἡ ἀναλογία ὀνομάζεται Ὀρθή. ὅταν ὅμως οἱ λόγοι ἄλλως πως ἔχωσι, τουτέστιν ὁ πρῶτος Ὅρος ἔχῃ πρὸς τὸν Δεύτερον, ὡς ὁ Τέταρτος πρὸς τὸν Τρίτον. οἷον $3 - 7 = 9 - 5$, ἢ $3 : 9 = 12 : 4$, τότε ἡ ἀναλογία καλεῖται ἀντίστροφος, καὶ ἐν ἑνὶ λόγῳ ἡ ἀναλογία, τῆς ὁποίας ὁ ἕνας λόγος εἶναι αὔξων, ὁ δὲ ἄλλος εἶναι Ἐλαττούμενος, ὀνομάζεται ἀντίστροφος, δυνάμεθα ὅμως ταύτην νὰ μετασχηματίσωμεν εἰς Ὀρθὴν, τοὺς Ὅρους τοῦ Δευτέρου λόγου μεταθέτοντες ὡς $3 - 7 = 5 - 9$, καὶ $3 : 9 = 4 : 12$.

ΠΟΡΙΣΜΑ γ.

§. 152. Ἐντεῦθεν ἀναφύεται μία γενικὴ Ἔκθεσις ἀναλογίας. διότι, ἐπειδὴ κάθε μὲν ἀριθμητικὸς λόγος ἐκφράζεται διὰ τοῦ $\alpha . \alpha + \delta$, ἢ $\beta . \beta + \delta$, κάθε δὲ Γεωμετρικὸς παρίσταται διὰ τοῦ $\alpha : \alpha\pi$, ἢ $\beta : \beta\pi$, διὰ τοῦτο ἂν δύω τοιοῦτοι λόγοι συνδεθῶσι διὰ τοῦ Σημείου τῆς Ἰσότητος, προκύπτει ἕνας Γενικὸς Τύπος τῆς μὲν ἀριθμητικῆς ἀναλογίας $\alpha . \alpha + \delta = \beta . \beta + \delta$, τῆς δὲ Γεωμετρικῆς $\alpha : \alpha\pi = \beta : \beta\pi$.

ΟΡΙΣ-

ΟΡΙΣΜΟΣ β'.

§. 153. Ὅταν ὁ Ἑπόμενος Ὅρος τοῦ πρώτου λόγου εἶναι ἅμα Ἡγούμενος τοῦ δευτέρου λόγου, τουτέστιν ὅταν οἱ δύω Μέσοι Ὅροι εἶναι Ἴσοι, ὡς ἐν τῷ Παραδείγματι $3 - 5 = 5 - 7$, ἢ $3 : 6 = 6 : 12$, ἢ $\alpha : \beta = \beta : \gamma$, τότε ἡ ἀναλογία ὀνομάζεται Συνεχής, εἰς τὴν ὁποίαν τινὲς συνεθίζουσι νὰ γράφωσιν ὁμοῦ τὸν δεύτερον, καὶ τρίτον Ὅρον ἅπαξ, οἷον εἰς μὲν τὴν ἀριθμητικὴν ἀναλ. οὕτως $\div 3 - 5 - 7$, εἰς δὲ τὴν Γεωμετρικὴν $\because 3 : 6 : 12$: ἢ $\because \alpha : \beta : \gamma$, καὶ νὰ ὀνομάζωσι τότε τοῦτον τὸν δεύτερον Ὅρον Μέσον ἀνάλογον. Ὅταν δὲ οἱ δύω Μέσοι Ὅροι εἶναι διάφοροι, τότε ἡ ἀναλογία ὀνομάζεται Διακεκριμένη.

ΠΟΡΙΣΜΑ.

§. 154. Ἂν ἐπὶ τῆς Συνεχοῦς ἀναλογίας μεταχειρισθῶμεν τὸ ἐν τῷ γ'. Πορίσματι προκύψαντα τύπον $\alpha . \alpha + \delta$, ἔσται τότε ὁ δεύτερος λόγος $\alpha + \delta . \alpha + 2\delta$. διότι, ἐπειδὴ ὁ Ἡγούμενος Ὅρος τοῦ δευτέρου λόγου εἶναι Ἴσος μὲ τὸν Ἑπόμενον Ὅρον τοῦ πρώτου λόγου, διὰ τοῦτο ἐνταῦθα ὁ Ἡγούμενος εἶναι $\alpha + \delta$, καὶ πάλιν, ἐπειδὴ ὁ Ἑπόμενος Ὅρος πρέπει νὰ αὐξάνηται διὰ τῆς Διαφορᾶς (§. 138), ἔσται ἄρα ἐνταῦθα ὁ Ἑπόμενος Ὅρος $\alpha + \delta + \delta$, ἤτοι $\alpha + 2\delta$. καὶ ἡ Ἔκθεσις τῆς ἀναλογίας $\div \alpha . \alpha + \delta . \alpha + 2\delta$. ἐὰν δὲ εἰς

τὴν

τὴν Γεωμετρικὴν ἀναλογίαν εἶναι ὁ πρῶτος λόγος $\alpha : \alpha\pi$, ὁ δεύτερος πρέπει νὰ εἶναι $\alpha\pi : \alpha\pi\pi$. διότι, ἐπειδὴ ὁ Ἑπόμενος Ὅρος τοῦ δευτέρου λόγου εἶναι αὐτὸς ὁ Ἡγούμενος πεπολλαπλασιασμένος μετὰ τοῦ Πηλίκου, διὰ τοῦτο ὁ Ἑπόμενος οὗτος Ὅρος εἶναι $\alpha\pi \times \pi$ ἢ $\alpha\pi^2$, καὶ ἡ Ἔκθεσις τῆς Γεωμετρικῆς ἀναλογίας εἶναι $\because \alpha : \alpha\pi : \alpha\pi^2$.

ΚΕΦΑΛΑΙΩΔΕΣ ΘΕΩΡΗΜΑ.

§. 155. Ἐφ' ἑκάστης ἀριθμητικῆς ἀναλογίας εἴτε Συνεχοῦς, εἴτε Διακεκριμένης, τὸ ἄθροισμα τῶν ἄκρων Ὅρων εἶναι Ἴσον μὲ τὸ ἄθροισμα τῶν Μέσων. ἐπὶ δὲ Γεωμετρικῆς ἀναλογίας τὸ ἐκ τῶν ἄκρων Γινόμενον εἶναι Ἴσον μὲ τὸ ἐκ τῶν Μέσων Παραγόμενον.

ΔΕΙΞΙΣ.

Ἂς ὑποτεθῇ ἡ ἀριθμητικὴ ἀναλογία $\alpha . \gamma = \beta . \epsilon$. ὅθεν οἱ ἄκροι Ὅροι ὁμοῦ συναφθέντες, ἔσονται Ἴσοι μὲ τοὺς Μέσους, οἷον $\alpha + \epsilon = \gamma + \beta$. ἐπειδὴ δὲ ἀντὶ τῶν Ἑπομένων Ὅρων δύω λόγων δυνάμεθα νὰ μεταχειρισθῶμεν τοὺς Ἡγουμένους Ὅρους μετὰ τῆς Διαφορᾶς (§. 138, καὶ §. 154), Καὶ ἐπειδὴ εἰς Ἴσους λόγους εἶναι ἡ Ἴδία Διαφορά, διὰ τοῦτο δύναται νὰ ἐκτεθῇ αὕτη ἡ δοθεῖσα ἀναλογία κατὰ τὸν ἑξῆς τρόπον $\alpha . \alpha + \delta = \beta . \beta + \delta$, ὡς καὶ ἐν τῷ γ'. Πορίσματι (§. 139, καὶ §. 152) δεδήλωται. ἀλλὰ μὴν ταύτης τῆς ἀναλογίας οἱ δύω ἄκροι Ὅροι συναφθέντες, εἰσὶν $\alpha + \beta + \delta$, οἱ δὲ Μέσοι ὡσαύτως $\alpha + \beta + \delta$. Ἴσοι δηλονότι ἀλλήλοις. ἄρα εἰς κάθε

ἀριθ-

ἀριθμητικὴν ἀναλογίαν τὸ ἄθροισμα τῶν δύω ἄκρων Ἴσον ἐστὶ τῷ τῶν Μέσων ἀθροίσματι. ἔστω δὲ καὶ δι' ἀριθμῶν αὕτη ἡ ἀναλογία πρὸς σαφεστέραν κατάληψιν ÷ $3 - 5 = 7 - 9$. εἰς τὴν ὁποίαν ἕκαστος βλέπει, ὅτι τὸ Κεφάλαιον τῶν ἄκρων Ἴσον ἐστὶ μὲ τὸ Κεφάλαιον τῶν Μέσων Ὅρων. Ἐὰν δ' αὖθις ὑποτεθῇ Γεωμετρικὴ τις ἀναλογία, οἷον $\alpha : \gamma = \beta : \delta$, ἔσται διὰ τῆς πολλαπλασιάσεως $\alpha\delta = \beta\gamma$, ἡ ὁποία εἶναι ὁμοία μὲ τὴν ἐν τῷ τρίτῳ Πορισμ. (§. 139) γενικῶς ἐκτεθεῖσαν Γεωμετρικὴν ἀναλογίαν $\alpha : \alpha\pi = \beta : \beta\pi$. ἀλλ' ἐπειδὴ εἰς αὐτὴν τὴν ἀναλογίαν τὸ ἐκ τῶν ἄκρων Παραγόμενον $\alpha\beta\pi$ Ἴσον ἐστὶ καὶ ὅμοιον μὲ τὸ ἐκ τῶν Μέσων Παραγόμενον $\alpha\beta\pi$. ἄρα ἐφ' ἑκάστης Γεωμετρικῆς ἀναλογίας τῷ ἐκ τῶν ἄκρων Παραγόμενον Ἴσον ... κ. τ.

ΠΟΡΙΣΜΑ α'.

§. 156. Ἂν ἐπὶ τῆς πρώτης Ἐξισώσεως $\alpha + \epsilon = \beta + \gamma$ τεθῇ $\beta + \delta$ ἀντὶ τῆς Δυνάμεως ϵ εἰς τὸ πρῶτον μέρος, εἰς δὲ τὸ δεύτερον μέρος τεθῇ $\alpha + \delta$ ἀντὶ τῆς Δυνάμεως τοῦ γ, προκύπτουσιν ἔτω ἀθροίσματα Ἴσα, τουτέστι $\alpha + \beta + \delta = \beta + \alpha + \delta$. ἐπὶ δὲ τῆς δευτέρας ἀναλογίας $\alpha\delta = \beta\gamma$ ἡ Δύναμις τοῦ δ εἶναι $\beta\pi$, καὶ ἡ Δύναμις τοῦ γ εἶναι $\alpha\pi$, τὰ ὁποῖα τεθέντα ἀντ' ἐκείνων, περιέχουσιν Ἴσα Γινόμενα, τουτέστι $\alpha\beta\pi = \beta\alpha\pi$.

ΠΟΡΙΣΜΑ β'.

§. 157. Ἐπειδὴ ἐπὶ τῆς Συνεχοῦς ἀναλογίας ὁ δεύτερος Ὅρος μ' ὅλον ὅπου τίθεται ἅπαξ, ἐννοεῖται ὡς δὶς τεθειμένος, διὰ τοῦτο εἰς μὲν ἀριθμητικὴν ἀναλογίαν τὸ ἄθροισμα τῶν ἄκρων, τουτέστι τοῦ πρώτου καὶ τρίτου Ὅρου εἶναι Ἴσον μὲ τὸ Διπλάσιον τοῦ Μέσου Ὅρου, οἷον ἐν τῇ ÷ $\alpha . \beta . \gamma$ εἶναι $\alpha + \gamma = 2\beta$. Εἰς δὲ Γεωμετρικὴν

κὴν

ἀναλογίαν τὸ ἐκ τῶν ἄκρων Γινόμενον τυγχάνει Ἴσον μὲ τὸ Τετράγωνον τοῦ Μέσου Ὅρου, οἷον ∺ $\alpha : \beta : \gamma$ γίνεται $\alpha\gamma = \beta\beta$. ἐπειδὴ ἂν λυθῶσιν αὗται αἱ ἀναλογίαι εἰς Διακεκομμένας, ἐκ μὲν τῆς πρώτης ἀναλογ. γίνεται $\alpha . \beta = \beta . \gamma$, ἄρα $\alpha + \gamma = 2\beta$. ἐκ δὲ τῆς δευτέρας ἀναλογ. γίνεται $\alpha : \beta = \beta : \gamma$, ἄρα $\alpha\gamma = \beta\beta$. καθάπερ δὴ καὶ δι' ἀριθμῶν τὸ ἴδιον γίνεται, καὶ ἔστω ἀναλογία ÷ $3 . 7 . 11$, ὅθεν τὸ ἄθροισμα τῶν ἄκρων εἶναι 14, τὸ δὲ διπλάσιον τοῦ Μέσου ὁμοίως 14. ὡσαύτως καὶ ἐπὶ τῆς ∺ $3 : 6 : 12$ τὸ ἐκ τῶν ἄκρων Γινόμενον εἶναι 36 τὸ δὲ Τετράγωνον τοῦ Μέσου αὖθις 36, οἷον $6 \times 6 = 36$.

ΠΟΡΙΣΜΑ γ'.

§. 158. Ἐντεῦθεν ἀνακύπτει ἡ Μέθοδος, δι' ἧς δυνάμεθα νὰ μεταβάλλωμεν ἑκάστην ἀναλογίαν εἰς Ἐξίσωσιν, καὶ ἑκάστην Ἐξίσωσιν εἰς ἀναλογίαν. ἐπειδὴ ἐκ παντὸς ἀναλογίας δύναται νὰ προκύπτῃ πάντοτε ἤτοι ἄθροισμα, ἢ Παραγόμενον τῶν ἄκρων καὶ Μέσων Ὅρων, καὶ οὕτω νὰ γέγνηται Ἐξίσωσις. καὶ ἀνάπαλιν, ἐὰν δοθῶσι δύω μέρη μιᾶς Ἐξισώσεως, δυνάμεθα νὰ λύσωμεν αὐτὰ εἰς δύω ἕτερα μέρη, τὰ ὁποῖα νὰ δίδωσι τὸ ἴδιον ἄθροισμα, ἢ εἰς δύω Παράγοντας, ἐξ ὧν νὰ προκύπτῃ τὸ ἴδιον Παραγόμενον, π. χ. ἐκ τῆς Ἐξισώσεως $\alpha + \beta = \gamma + \delta$ δύναται νὰ γένῃ $\alpha . \gamma = \delta . \beta$, ἐκ δὲ τῆς $\alpha\beta = \gamma\delta$ δύναται νὰ γένῃ ἡ $\alpha : \gamma = \delta : \beta$ ἀναλογία, οὕτω καὶ ἐκ τοῦ $12 = 12$ γίνεται $3 + 9 = 5 + 7$, καὶ ἐντεῦθεν $3 . 5 = 7 . 9$ ἀριθμητικῶς, καθάπερ πάλιν καὶ Γεωμετρικῶς ὁ ἴδιος ἀριθμὸς ἀναλύεται εἰς Παράγοντας $2 \times 6 = 3 \times 4$, καὶ ἐντεῦθεν $2 : 4 = 3 : 6$.

ΘΕΩΡΗΜΑ α'.

§. 159. Ἐκ τῶν Παραγόντων δύω Ἴσων Παραγομένων δύνανται νὰ προκύψωσιν Ὀκτὼ Ὀρθαὶ Γεωμετρικαὶ ἀναλογίαι.

ΔΕΙΞΙΣ.

ΔΕΙ͂ΞΙΣ.

Δύω Ἴσα Παραγόμενα ἀποτελοῦσι μίαν Ἐξίσωσιν, τῆς ὁποίας τοὺς Ὅρους κατὰ τὸ προτεθὲν Θεώρημα δυνάμεθα νὰ διαθέσωμεν ἐν εἴδει ἀναλογίας, ἐν ᾧ μεταχειριζόμεθα τοὺς Παράγοντας ἑνὸς τούτων τῶν δύω Παραγομένων ὡς ἄκρους, ἢ Μέσους Ὅρους. ἀλλ' ἐπειδὴ κατ' αὐτὸν τὸν τρόπον ἕκαστος τῶν Παραγόντων ἑνὸς καὶ τοῦ αὐτοῦ Παραγομένου (ἂν οὗτοι οἱ Παράγοντες ὡς ἄκροι Ὅροι τῆς ἀναλογίας ληφθῶσιν) ἔσται ἢ πρῶτος, ἢ ἔσχατος Ὅρος, καὶ αὖθις (ἂν οὗτοι ὡς Μέσοι Ὅροι τῆς ἀναλογίας ληφθῶσιν.) ἔσεται ἢ δεύτερος ἢ τρίτος Ὅρος, καὶ ἐπειδὴ αὕτη ἡ διάφορος μετάθεσις τῶν Ὅρων δύναται ὀκτάκις νὰ γένῃ, ὡς κατωτέρω δηλωθήσεται. ἄρα ἐκ δύω Ἴσων Παραγομένων δύνανται νὰ προκύψωσιν ὀκτὼ Ὀρθαὶ Γεωμετρικαὶ ἀναλογίαι. Ἔστωσαν δύω Παραγόμενα Ἴσα, οἷον $\alpha\delta = \beta\gamma$. καὶ ληφθήτωσαν οἱ Παράγοντες ἑνὸς τῶν Παραγομένων ὡς ἄκροι Ὅροι, ἐν ᾧ ἕκαστος τῶν Παραγόντων ἔσται εἰς τέσσαρας ἀναλογίας ἢ πρῶτος, ἢ ἔσχατος.

$\alpha\delta + \beta\gamma$	ἤτοι	$3 \times 8 = 4 \times 6$
$\alpha:\beta = \gamma:\delta$	. . . . .	$3:4 = 6:8$
$\alpha:\gamma = \beta:\delta$	. . . . .	$3:6 = 4:8$
$\delta:\beta = \gamma:\alpha$	. . . . .	$8:4 = 6:3$
$\delta:\gamma = \beta:\alpha$	. . . . .	$8:6 = 4:3$
$\beta:\alpha = \delta:\gamma$	καὶ πάλιν ληφθήτωσαν	$4:3 = 8:6$
$\beta:\delta = \alpha:\gamma$	οἱ αὐτοὶ Παράγοντες ὡς	$4:8 = 3:6$
$\gamma:\alpha = \delta:\beta$	Μέσοι. κ. τ. . .	$6:3 = 8:4$
$\gamma:\delta = \alpha:\beta$	. . . . .	$6:8 = 3:4$

Ὅλαι

Ὅλαι αὗται αἱ ἀναλογίαι συνίστανται ἐκ τῶν $\alpha\delta = \beta\gamma$, ἤτοι $3 \times 8 = 4 \times 6$, κἀντεῦθεν τὸ Παραγόμενον τῶν ἄκρων εἶναι Ἴσον μὲ τὸ Παραγόμενον τῶν Μέσων, καὶ ἐπομένως ἑκάστη ἀναλογία εἶναι Ὀρθή.

ΠΟΡΙΣΜΑ α'.

§. 160. Ἐὰν οἱ Παράγοντες τεθῶσιν εἰς μίαν ἀναλογίαν οὕτως, ὥστε ὁ πρῶτος Ὅρος νὰ ἔχῃ πρὸς τὸν δεύτερον τὸν αὐτὸν λόγον, ὃν ἔχει ὁ τέταρτος πρὸς τὸν τρίτον, τότε εἶναι ἀναλογία ἀντίστροφος, καὶ κατ' αὐτὸν τὸν τρόπον δύνανται νὰ γένωσιν αὖθις ὡς ἀνωτέρω, ὀκτὼ διάφοροι μεταθέσεις τῶν Ὅρων, ὥστε πάντοτε νὰ προκύπτῃ ἀναλογία ἀντίστροφος, καὶ τὸ ἐκ τοῦ πρώτου καὶ τρίτου Ὅρου Παραγόμενον νὰ εἶναι Ἴσον τῷ ἐκ τοῦ δευτέρου καὶ τετάρτου Παραγομένῳ, καθὼς ἐκ τῶν ἀκολούθων σαφέστερον δειχθήσεται.

$\alpha\delta = \beta\gamma$	$3 \times 8 = 4 \times 6$
$\alpha:\beta = \delta:\gamma$	$3:4 = 8:6$
$\alpha:\gamma = \delta:\beta$	$3:6 = 8:4$
$\beta:\alpha = \gamma:\delta$	$4:3 = 6:8$
$\beta:\delta = \gamma:\alpha$	$4:8 = 6:3$
$\gamma:\alpha = \beta:\delta$	$6:3 = 4:8$
$\gamma:\delta = \beta:\alpha$	$6:8 = 4:3$
$\delta:\beta = \alpha:\gamma$	$8:4 = 3:6$
$\delta:\gamma = \alpha:\beta$	$8:6 = 3:4$

Ἐνταῦθα ἐφ' ἑκάστης τῶν ἀναλογιῶν ὁ πρῶτος Ὅρος ἔχει πρὸς τὸν δεύτερον τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχει ὁ τέταρτος πρὸς τὸν τρίτον. μ' ὅλον τοῦτο ἐὰν μεταθέσωμεν τοὺς Ὅρους μόνον τοῦ ἑνὸς λόγου, ἀποκτῶμεν ἀναλογίαν Ὀρθήν, καὶ τὸ ἐκ τῶν ἄκρων Παραγόμενον εἶναι Ἴσον τῷ ἐκ τῶν μέσων Παραγομένῳ.

ΠΟ-

ΠΟΡΙΣΜΑ β΄.

§. 161. Δύνανται τέλος νὰ τεθῶσιν οἱ Παράγοντες καὶ ἄλλον τρόπον, ὥστε οἱ ἔτω τεθέντες Ὅροι νὰ μὴ ἀποκαθιστῶσι μήτε Ὀρθὴν μήτε ἀντίστροφον ἀναλογίαν, τουτέστι ἂν μεταξὺ τῶν Πα-Παραγόντων, ἑκατέρου τῶν Παραγομένων θεωρῆται ἕνας λόγος, ἤτοι οἱ δύω λόγοι φερθῶσιν εἰς Ἐξίσωσιν, αὕτη δὲ ἡ ἄλλου τινὸς ἀναλογίας μετάθεσις τῶν Παραγόντων δύναται νὰ γένῃ κατὰ ὀκτὼ διαφόρους τρόπους, ὡς ἐν τοῖς ἑξῆς δηλοῦται.

$\alpha\delta = \beta\gamma$	$3 \times 8 = 4 \times 6$
$\alpha : \delta = \beta : \gamma$	$3 : 8 = 4 : 6$
$\alpha : \delta = \gamma : \beta$	$3 : 8 = 6 : 4$
$\beta : \gamma = \alpha : \delta$	$4 : 6 = 3 : 8$
$\beta : \gamma = \delta : \alpha$	$4 : 6 = 8 : 3$
$\gamma : \beta = \alpha : \delta$	$6 : 4 = 3 : 8$
$\gamma : \beta = \delta : \alpha$	$6 : 4 = 8 : 3$
$\delta : \alpha = \beta\,\gamma$	$8 : 3 = 4 : 6$
$\delta : \alpha = \gamma : \beta$	$8 : 3 = 6 : 4$

ΠΟΡΙΣΜΑ γ΄.

§. 162. Ἐπειδὴ οἱ Ἴσοι λόγοι εἴτε ἐλαττωθῶσιν, εἴτε αὐξηθῶσι διὰ Ἴσων Ποσοτήτων, μένουσιν αὖθις Ἴσοι (§. 147.) λόγοι, διὰ τοῦτο δύναται νὰ ἀναφανῶσιν ἔτι πλείονες μεταλλαγαί, χωρὶς νὰ λάβῃ τινα μεταβολὴν ἡ ἀναλογία. καὶ τοῦτο γίνεται, ἐὰν οἱ Ἡγούμενοι Ὅροι διὰ τῶν Ἑπομένων, ἢ ἀνάπαλιν οἱ Ἑπόμενοι διὰ τῶν Ἡγουμένων αὐξηθῶσιν, ἢ ἐλαττωθῶσι, καὶ ἐν ἑνὶ λόγῳ δύναται νὰ γίνωσι τόσαι μεταλλαγαί, ὅσα Ἴσα Παραγόμενα προκύψουσι διὰ τῆς Πολλαπλασιάσεως τῶν ἄκρων καὶ Μέσων Ὅρων

$\alpha + \beta : \beta = \gamma + \delta : \delta$ $\beta + \alpha : \beta = \gamma + \gamma : \delta$ $\alpha : \alpha + \beta = \gamma : \gamma + \delta$	οἱ λόγοι αὐξάνονται διὰ τῆς Προσθέσεως.	$3 + 4 : 4 = 6 + 8 : 8$ $3 + 3 : 4 = 6 + 6 : 8$ $3 : 3 + 4 = 6 : 6 + 8$
$\alpha : \beta - \alpha = \gamma : \delta - \gamma$ $\beta - \alpha : \beta = \gamma - \alpha : \alpha$ $\delta + \beta : \delta - \beta = \gamma + \alpha : \gamma - \alpha$	ἐλαττοῦνται διὰ τῆς ἀφαιρέσεως	$3 : 4 - 3 = 6 : 8 - 6$ $8 - 4 : 4 = 6 - 3 : 3$ $8 + 4 : 8 - 4 = 3 : 6 - 3$

ΣΧΟΛΙΟΝ.

§. 163. Τὸ περὶ τῆς μεταβολῆς μιᾶς Ἐξισώσεως εἰς ἀναλογίαν καὶ ἀνάπαλιν ἀπαιτεῖ πολλὴν προσοχὴν καὶ παρατήρησιν, ὡσὰν ὁποῦ εἰς ὅλην τὴν Μαθηματικὴν γίνεται πρόξενον μεγάλης ὠφελείας καὶ χρήσεως. ὅθεν πρέπει νὰ διακρίνωμεν πάντοτε καλῶς, ποῖοι εἶναι οἱ Παράγοντες ἑκάστου Παραγομένου, διὰ νὰ ἐννοῶμεν ἔπειτα καλῶς, καὶ νὰ σχεδιάζωμεν θεωρητικῶς ἢ πρακτικῶς τοὺς Ὅρους τῆς ἀναλογίας. ὅταν ὑπάρχῃ ἁπλοῦν τι Ποσόν, οἱ τότε Παράγοντές εἰσιν αὐτὸ τὸ Ἴδιον Ποσὸν καὶ ἡ Μονάς, ἥτις, ἐπειδὴ δὲν πολλαπλασιάζει μηδέν, ἠμπορεῖ νὰ λαμβάνηται πάντοτε ἀντὶ τοῦ ἑτέρου Παράγοντος. π. χ. τοῦ χ οἱ Παράγοντές εἰσιν τὸ χ καὶ 1, ὅθεν ἡ Ἐξίσωσις $\chi = \gamma\delta$ ἔχει Παράγοντας $\chi \times 1 = \gamma \times \delta$ καὶ ἐντεῦθεν γίνεται ἡ ἀναλογία $\chi : \gamma = \delta : 1$, ἢ $1 : \gamma = \delta : \chi$. Ὅταν δὲ τὸ Παραγόμενον ὑπάρχῃ Συμπεπλεγμένον Ποσόν, καὶ εἰς καθε Ὅρον συμπίπτῃ τὸ αὐτὸ Γράμμα, τότε Παράγοντες εἶναι αὐτὸ τὸ Γράμμα, καὶ τὸ Συμπεπλεγμένον Ποσόν. π. χ. $\nu\delta - \delta = \alpha\gamma - \beta\gamma$ παράγοντές εἰσιν $(\nu - 1)\,\delta = (\alpha - \beta)\,\gamma$. ὅθεν ἡ ἀναλογία $\nu - 1 : \alpha - \beta = \gamma : \delta$; προσέτι τοῦ $1 - \chi\chi = \alpha$ Παράγοντές εἰσιν $1 - \chi \times 1 + \chi = \alpha \times 1$, ἡ δὲ ἀναλογία $1 - \chi : \alpha = 1 : 1 + \chi$. οὕτω καὶ τὰ $\chi\chi - \phi\phi = 1$ δίδουσιν ἀναλογίαν $\chi - \phi : 1 = 1 : \chi + \phi$, καὶ Συνεχῆ $\div \chi - \phi : 1 : \chi + \phi$.

ΠΟΡΙΣΜΑ.

§. 164. Ἐπειδὴ καὶ τὰ Κλάσματα εἶναι λόγοι (137), διὰ τοῦτο Ἴσα Κλάσματα διαλυθέντα δύνανται νὰ τεθῶσιν ἐν εἴδει ἀναλογίας, ὅθεν ὅταν μὲν ὁ Παρονομαστὴς ἔχῃ πρὸς τὸν ἑαυτοῦ Ἀριθμητὸν τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχει καὶ ὁ ἕτερος Παρονομαστὴς πρὸς τὸν ἑαυτοῦ ἀριθμητὴν, ἢ ἀνάπαλιν, ὡς ὁ ἀριθμ. πρὸς τὸν ἑαυτοῦ Παρονομ. οὕτω καὶ ὁ ἕτερος ἀριθμ. πρὸς τὸν ἑαυτοῦ Παρονομ. τότε τὰ Κλάσματα εἶναι τεταγμένα εἰς Ὀρθὴν ἀναλογίαν. ὅταν ὅμως ὁ Παρονομ. πρὸς τὸν ἑαυτοῦ ἀριθ. ἔχῃ λόγον τὸν ὁποῖον ἔχει ὁ ἄλλος ἀριθμ. πρὸς τὸν ἑαυτοῦ Παρονομαστὴν, καὶ ἀνάπαλιν, τότε τὰ Κλάσματα εἶναι τεταγμένα εἰς ἀντίστροφον ἀναλογίαν, οἷον ἐκ τοῦ $\frac{3}{9}$ καὶ $\frac{6}{18}$ ἀποκαθίσταται Ὀρθὴ ἀναλογία $9 : 3 = 18 : 6$ ἢ $3 : 9 = 6 : 18$. ἀντίστροφος δὲ $9 : 3 = 6 : 18$ ἢ $3 : 9 = 18 : 6$. ὅταν δ' αὖθις τὰ Κλάσματα ἔχωσιν ἀριθμητὴν μὲν τὸν αὐτὸν, Παρονομαστὴν ὅμως διάφορον, τότε τὰ Κλάσματα εἶναι εἰς ἀντίστροφον λόγον τῶν Παρονομαστῶν, δηλαδὴ τὸ πρῶτον Κλάσμα ἔχει πρὸς τὸ δεύτερον λόγον, τὸν ὁποῖον ἔχει ὁ Παρονομ. τοῦ δευτέρου Κλάσματος πρὸς τὸν Παρονομαστὴν τοῦ πρώτου. οἷον $\frac{\alpha}{\beta} : \frac{\alpha}{\delta} = \delta : \beta$, καὶ $\frac{3}{4} : \frac{3}{5} = 5 : 4$. καὶ τοῦτο εἶναι φανερὸν, ἐπειδὴ τὸ ἐκ τῶν ἄκρων Γινόμενον $\frac{\alpha\beta}{\beta}$ ἤτοι $\frac{3\times4}{4}$ = τῷ ἐκ τῶν Μέσων Γινομένῳ $\frac{\alpha\delta}{\delta}$ ἢ $\frac{3\times5}{5}$ δηλαδὴ $\alpha = \alpha$ καὶ $3 = 3$. ἂν ὅμως οἱ Παρονομασταὶ ὦσιν Ἴσοι, οἱ δὲ ἀριθμηταὶ ἄνισοι, τὰ Κλάσματα ἔχουσι λόγον πρὸς ἄλληλα τοιοῦτον, ὅ, τι λογῆς ἔχουσι καὶ οἱ ἀριθμηταὶ πρὸς ἀλλήλους. π. χ. $\frac{\alpha}{\delta} : \frac{\gamma}{\delta} = \alpha : \gamma$ καὶ $\frac{3}{5} : \frac{2}{5} = 3 : 2$, ἐπειδὴ τὸ ἐκ τῶν Μέσων Γινόμενον Ἴσον ἐστὶ τῷ ἐκ τῶν ἄκρων $\frac{\alpha\gamma}{\delta} = \frac{\alpha\gamma}{\delta}$ καὶ $\frac{6}{5} = \frac{6}{5}$.

ΘΕΩΡΗΜΑ β'.

§. 165. Ἐὰν οἱ Ὅροι μιᾶς ἀναλογίας πολλαπλασιασθῶσιν, ἢ διαιρεθῶσι διὰ τῶν Ὅρων

ἄλλης

ἄλλης τινὸς ἀναλογίας, δηλαδὴ ὁ πρῶτος Ὅρος διὰ τοῦ πρώτου, καὶ ὁ δεύτερος διὰ τοῦ δευτέρου, καὶ οὕτως καθεξῆς, τὰ ἐκ τούτων Γινόμενα, ἢ Πηλίκα ἔσονται, αὖθις ἀνάλογα, ἢ ἐν λόγῳ τινί.

ΔΕΙΞΙΣ.

Πολλαπλασιασθήτω ἡ $\alpha : \beta = \gamma : \delta$ ἀναλογία
μετὰ τῆς $\varepsilon : \zeta = \eta : \theta$

$$\alpha\varepsilon : \beta\zeta = \gamma\eta : \delta\theta$$

ὑποτεθήτω ἔτι εἰς μὲν τὴν πρώτην ἀναλογίαν τὸ Πηλίκον $= \pi$. εἰς δὲ τὴν δευτέραν $= \rho$. λοιπὸν (κατὰ τὸ γ', Πόρισμα) ἐκ μὲν τῆς πρώτης ἀναλογίας γίγνεται

$$\alpha : \alpha\pi = \gamma : \gamma\pi \quad \big| \quad 2 : 4 = 3 : 6$$

ἐκ δὲ τῆς δευτέρας

$$\varepsilon : \varepsilon\rho = \eta : \eta\rho \quad \big| \quad 3 : 9 = 5 : 15$$

$$\alpha\varepsilon : \alpha\varepsilon\pi\rho = \gamma\eta : \gamma\eta\pi\rho \quad \big| \quad 6 : 36 = 15 : 90$$

ἐπειδὴ ἐν τοῖς δυσὶ τούτοις λόγοις τὸ Πηλίκον ἐστὶ $\pi\rho$, ἄρα οἱ λόγοι οὗτοι εἶναι Ἴσοι ἀλλήλοις. ὅθεν ἀναλογίαι εἴτε δύω, εἴτε πλείονες ἀλλήλων πολλαπλασιασθεῖσαι, ποιοῦσιν αὖθις ἀναλογίαν.

ΠΟΡΙΣΜΑ α'.

§. 166. Ὅταν τοίνυν πάντες οἱ Ὅροι μιᾶς ἀναλογίας πολλαπλασιασθῶσιν, ἢ διαιρεθῶσι διὰ τῆς αὐτῆς Ποσότητος, ἢ ἄλλως ὅταν μόνον οἱ δύω Ἡγούμενοι Ὅροι πολλαπλασιασθῶσιν, ἢ διαιρεθῶσι διὰ τῆς αὐτῆς Ποσότητος, οἱ δὲ δύω Ἑπόμενοι δι' ἑτέρας

Ποσό-

Ποσότητος, τότε οἱ οὕτως αὐξηθέντες, ἢ ἐλαττωθέντες Ὅροι μένουσι πάντοτε ἀνάλογοι. ἐπειδὴ ἀφ' οὗ λυθῶσιν οἱ Ὅροι ὡς ἀνωτέρω, τὸ ἐκ τῶν ἄκρων Γινόμενον εἶναι πάντοτε Ἴσον μὲ τὸ ἐκ τῶν Μέσων Γινόμενον, καὶ ἐντεῦθεν εἶναι μία ἀληθὴς ἀναλογία,

ΠΟΡΙΣΜΑ β'.

§. 167. Ἐπειδὴ εἰς τὰς ἀριθμητικὰς ἀναλογίας ἀκολουθεῖ διὰ τῆς συνάψεως ἐκεῖνο, ὅπου γίνεται εἰς τὰς Γεωμετρικὰς διὰ τῆς Πολλαπλασιάσεως, διὰ τοῦτο ἂν δύω ἀριθμητικαὶ ἀναλογίαι συναχθῶσιν ἀναλογικῶς, τὰ ἀθροίσματα πάλιν μένουσιν ἐν λόγῳ. Ἐὰν ὅμως ἀφαιρεθῶσιν, αἱ διαφοραὶ αὐτῶν ἔσονται ἐν λόγῳ. καὶ ἡ Διαφορὰ εἰς τὴν πρώτην ὑπάρχει $= \delta$, εἰς δὲ τὴν δευτέραν $= \chi$

$$\alpha . \alpha+\delta = \beta . \beta+\delta \qquad 3 . 5 = 7 . 9$$
$$\gamma . \gamma+\chi = \varepsilon . \varepsilon+\chi \qquad 2 . 3 = 4 . 5$$
$$\overline{\alpha+\gamma . \alpha+\gamma+\delta+\chi = \beta+\varepsilon . \beta+\varepsilon+\delta+\chi} \qquad 5 . 8 = 11 . 14$$

ΠΟΡΙΣΜΑ γ'.

§. 168. Ἐκ τῶν ἀνωτέρω ἀποδειχθέντων γίνεται δῆλον, ὅτι ἐὰν Ἴσαι ἀναλογίαι μετ' ἀλλήλων πολλαπλασιασθῶσιν, τὰ ἐκ τούτων Γινόμενα μένουσιν ἀνάλογα. ὅθεν ἐὰν προτεθῶσιν εἰς πολλαπλασίασιν τρεῖς, ἢ πλείονες τοιαῦται ἀναλογίαι, τὰ Γινόμενα (ἔσονται ταῦτα ἢ Κύβοι, ἢ ἄλλαι ἀνώτεραι Δυνάμεις) θέλουσιν εἶναι κάθε φορὰν ἀνάλογα. ὅθεν πολλαπλασιασθεῖσα ἐφ' ἑαυτὴν ἡ ἀναλογία $\alpha : \beta = \gamma : \delta$, παρέχει πάλιν ἀναλογίαν Σύνθετον, οἷον

$$\alpha : \beta = \gamma : \delta$$
$$\alpha : \beta = \gamma : \delta$$
$$\alpha^2 : \beta^2 = \gamma^2 : \delta^2$$

ἐπειδὴ δὲ ἡ ἀναλογία, ἥτις πολλαπλασιάζεται, εἶναι αἱ ῥίζαι, καὶ τὸ Γενόμενον εἶναι τὰ Τετράγωνα τούτων τῶν ῥιζῶν· ἄρα ἐὰν αἱ ῥίζαι εἶναι ἀνάλογαι, πρέπει καὶ τὰ Τετράγωνα νὰ εἶναι ἀνάλογα, τὸ ὁποῖον ἐκφράζεται διὰ τοῦ ἑπομένου Θεωρήματος ΑἹ ΔΥΝΑΜΕΙΣ ῬΙΖΩ͂Ν ἈΝΑΛΟ͂ΓΩΝ ΕἸΣῚΝ ἈΝΆΛΟΓΟΙ.

ΘΕΩΡΗΜΑ γ'.

§. 169. Ὅταν ἐπὶ δύω ἀναλογιῶν (τῶν ὁποίων ἡ μία εἶναι ὑπὸ τὴν ἄλλην γεγραμμένη, καὶ δύω Ὅροι τῆς μιᾶς εἶναι Ἴσοι μὲ δύω Ὅρους τῆς ἄλλης) ἀχθῶσι Παράλληλοι Γραμμαὶ εἰς ἀνίσους Ὅρους, τότε οὗτοι οἱ ἄνισοι Ὅροι εἶναι εἰς Ὀρθὴν ἀναλογίαν

$$\alpha : \beta = \gamma : \delta$$
$$\beta : \mu = \delta : \nu \qquad \text{ἐστὶ } \alpha : \mu = \gamma : \nu .$$

ἐπειδὴ ἐκ τῆς πρώτης ἀναλογίας γίνεται διὰ τῆς μεταθέσεως τῶν Ὅρων $\alpha : \gamma = \beta : \delta$, ἐκ δὲ τῆς δευτέρας γίνεται $\beta : \delta = \mu : \nu$. ἀλλ' ἐπειδὴ καὶ $\alpha : \gamma$ καὶ $\mu : \nu$ εἶναι Ἴσα τῷ τρίτῳ λόγῳ $\beta : \delta$, ἄρα καὶ ἀλλήλοις οὗτοί εἰσιν Ἴσοι, δηλαδὴ $\alpha : \gamma = \mu : \nu$, ἢ $\alpha : \mu = \gamma : \nu$, ὅπερ ἔδει δεῖξαι.

ΘΕΩΡΗΜΑ δ'.

§. 170. Ἐὰν εἰς δύω ἀναλογίας (εἰς τὰς ὁποίας δύω Ὅροι τῆς μιᾶς εἶσιν Ἴσοι μὲ δύω Ὅρους τῆς ἄλλης) ἀχθῶσι δύω Γραμμαὶ Συμπίπτουσαι (τουτέστι μὴ παράλληλοι) ἐπὶ ἀνί-

σων

σων Ὅρων, οἱ Ὅροι ἦτοι εἰσὶν εἰς τὴν ἀναλογίαν ἀντιςρόφως.

$$\beta : \beta = \gamma : \delta$$
$$\beta : \mu = \nu : \gamma$$

ὅθεν γίνεται $\alpha : \mu = \nu : \delta$, ἐπειδὴ δὲ εἰς τὴν πρώτην ἀναλογίαν ἐςὶ $\alpha\,\delta = \beta\,\gamma$, εἰς δὲ τὴν δευτέραν $\mu\,\nu = \beta\,\gamma$. ἄρα ϗ $\alpha\,\delta = \mu\,\nu$. ἅπερ διαλυθέντα ποιῦσιν ἀναλογίαν $\alpha : \mu = \nu : \delta$.

ΘΕΩ'ΡΗΜΑ έ.

§. 171. Ὅταν εἰς δύω ἀναλογίας οἱ πρῶτοι Ἡγέμενοι Ὅροι εἶναι Ἴσοι ἀλλήλοις, ὡσαύτως ϗ οἱ ἐσχάτως Ἑπόμενοι, ϗ ἀνάπαλιν, τότε οἱ λοιποὶ Ὅροι εἰσὶν ἐν ἀντιςρόφῳ λόγῳ.

ἐὰν ὦσιν $\begin{cases} \alpha : \beta = \gamma : \delta \\ \alpha : \mu = \nu : \delta \end{cases}$

γίνεται $\quad \beta : \mu = \nu : \gamma$

ϗ γὰρ $\alpha\delta = \beta\gamma$, ϗ $\mu\nu = \alpha\delta$, ἄρα ϗ $\beta\gamma = \mu\nu$, ἐξ ὧν γίνεται $\beta : \mu = \nu : \gamma$.

ΘΕΩ'ΡΗΜΑ ς'.

§. 172. Ὅταν εἰς δύω ἀναλογίας οἱ πρώτως Ἡγέμενοι Ὅροι, ϗ οἱ δευτέρως αὖθις Ἡγέ-

Ἡγέμενοι Ἴσοι ὦσιν ἀλλήλοις, τότε οἱ λοιποὶ Ὅροι εἰσὶν εἰς ἀναλογίαν Ὀρθήν.

ἐὰν ὦσιν $\begin{cases} \alpha : \beta = \gamma : \delta \\ \alpha : \mu = \gamma : \nu \end{cases}$

γίνεται $\quad \beta : \mu = \delta : \nu$. ἐπειδὴ διὰ τῆς μεταθέσεως τῶν Ὅρων ἐςὶ $\alpha : \gamma = \beta : \delta$ ϗ $\alpha : \gamma = \mu : \nu$. ἄρα ἔςαι ὡσαύτως Ὀρθή $\beta : \mu = \delta : \nu$.

ΘΕΩ'ΡΗΜΑ ζ'.

§. 173. Ὅταν ὦσι πλέονες Ἴσοι λόγοι (τῶν ὁποίων ὁ εἷς ἀκολυθεῖ τῷ ἑτέρῳ) ἢ πλέονες ἀνάλογοι Ὅροι, τότε τὸ Κεφάλαιον πάντων τῶν Ἡγυμένων Ὅρων πρὸς τὸ Κεφάλαιον ὅλων τῶν Ἑπομένων ἔχει τὸν αὐτὸν λόγον, τὸν ὁποῖον ἔχει κάθε Ἡγέμενος πρὸς τὸν ἑαυτῦ Ἑπόμενον.

Ἔςωσαν οἱ λόγοι $\alpha : \beta = \gamma : \delta = \varepsilon : \zeta = \eta : \vartheta$. κ. τ. οἱ ὁποῖοι δύνανται νὰ μεταποιηθῶσιν ὕτως $\alpha : \alpha\pi = \gamma : \gamma\pi = \varepsilon : \varepsilon\pi = \eta : \eta\pi$. τὸ Κεφάλαιον λοιπὸν τῶν Ἡγυμένων εἶναι $\alpha + \gamma + \varepsilon + \eta$, τῶν δὲ Ἑπομένων $\alpha\pi + \gamma\pi + \varepsilon\pi + \eta\pi$. ὥστε $\alpha + \gamma + \varepsilon + \eta : \alpha\pi + \gamma\pi + \varepsilon\pi + \eta\pi = \alpha : \alpha\pi$ δηλαδὴ $\alpha + \gamma + \varepsilon + \eta : (\alpha + \gamma + \varepsilon + \eta)\pi = \alpha : \alpha\pi$, ὅθεν τὸ ἐκ τῶν Μέσων Ὅρων Γινόμενόν ἐςι $(\alpha + \gamma + \varepsilon + \eta)\,\alpha\pi$, τὸ δὲ ἐκ τῶν ἄκρων Γινόμε-

νον

νον ὡσαύτως $(\alpha+\gamma+\epsilon+\eta)$ απ, τὰ ὁποῖα Ἴσα εἰσὶν ἀλλήλοις. καὶ ἐπειδὴ ὅπου τὸ ἐκ τῶν ἄκρων Γινόμενον εἶναι Ἴσον μὲ τὸ ἐκ τῶν Μέσων Γινόμενον, ἐκεῖ τυγχάνει ἀληθὴς ἀναλογία. ἄρα τὸ Κεφάλαιον τῶν Ἡγεμένων ἔχει λόγον κ. τ. ὡς εἴρηται.

ΠΡΟΒΛΗΜΑ α΄.

§. 174. Δοθέντων τριῶν Ὅρων τινὸς ἀναλογίας, νὰ εὕρωμεν τὸν τέταρτον, ὁ ὁποῖος δύναται νὰ ἦναι ὁποιοσδήποτε Ὅρος τῆς ἀναλογίας.

ΠΡΑΚΤΕΑ.

Ἂς εἶναι ὁ ζητούμενος Ὅρος χ, καὶ ἂς τεθῇ οὗτος εἰς τὸν τόπον τοῦ ζητητέου. ἐκ τῆς ἀναλογίας γίνεται ἤτοι ἀριθμητικὴ Ἐξίσωσις διὰ τῆς Συνάψεως τῶν Ὅρων, ἢ Γεωμετρικὴ διὰ τῆς πολλαπλασιάσεως αὐτῶν, ἔπειτα ζητεῖται τὸ χ κατὰ τοὺς Κανόνας τῆς Ἐξισώσεως.

$\alpha . \beta = \gamma . \chi$	γίνεται	$\alpha+\chi=\beta+\gamma$	ἤτοι	$\chi=\beta+\gamma-\alpha$.
$\alpha . \beta = \chi . \gamma$	.	$\alpha+\gamma=\beta+\chi$	.	$\chi=\alpha+\gamma-\beta$.
$\alpha . \chi = \beta . \gamma$	.	$\alpha+\gamma=\chi+\beta$	.	$\chi=\alpha+\gamma-\beta$.
$\chi . \alpha = \beta . \gamma$	.	$\chi+\gamma=\alpha+\beta$	.	$\chi=\alpha+\beta-\gamma$.
$\alpha . \beta = \gamma : \chi$	.	$\alpha\chi=\alpha\gamma$	.	$\chi=\frac{\beta\gamma}{\alpha}$.
$\alpha : \beta = \chi : \gamma$	.	$\alpha\gamma=\beta\chi$	.	$\chi=\frac{\alpha\gamma}{\beta}$.
$\alpha : \chi = \beta : \gamma$	.	$\alpha\gamma=\chi\beta$	.	$\chi=\frac{\alpha\gamma}{\beta}$.
$\chi : \alpha = \beta : \gamma$	.	$\chi\gamma=\alpha\beta$	.	$\chi=\frac{\alpha\beta}{\gamma}$.

ΔΕΙΞΙΣ.

Ἑκάστη ἀναλογία δύναται νὰ μεταποιηθῇ εἰς Ἐξίσωσιν (§. 157) εἰς τὴν ὁποίαν διὰ τῆς μεταθέσεως τῶν Ὅρων εὑρίσκεται ἡ Δύναμις τοῦ ζητουμένου χ (§. 111).

ΠΡΟΒΛΗΜΑ β΄.

§. 175. Ὅταν δοθῶσι δύω Ὅροι συνεχοῦς τινος ἀναλογίας, νὰ εὕρωμεν τὸν Μέσον, ἢ τρίτον Ὅρον.

ΠΡΑΚΤΕΑ.

Πρῶτον ὀνομάζεται ὁ ἄγνωστος Ὅρος χ, ὡς ἀνωτέρω εἴρηται, ἔπειτα ἀφ' οὗ ἀποκαταστασθῶσιν οἱ Ὅροι εἰς Ἐξίσωσιν, ζητεῖται ἡ Δύναμις τοῦ χ. οἷον

$\div \alpha . \beta . \chi$	γίνεται	$\alpha+\chi=2\beta$,	ἤτοι	$\chi=2\beta-\alpha$
$\div \alpha . \chi . \beta$	.	$\alpha+\beta=2\chi$	.	$\chi=\frac{\alpha+\beta}{2}$
$\div\!\!\div \alpha : \beta : \chi$	.	$\alpha\chi=\beta\beta$	.	$\chi=\frac{\beta\beta}{\alpha}$
$\div\!\!\div \alpha : \chi : \beta$	.	$\alpha\beta=\chi\chi$	.	$\chi=\sqrt{\alpha\beta}$

Ἡ Δεῖξις εἶναι ἡ Ἰδία μὲ τὴν ἀνωτέρω εἰρημένην.

ΣΧΟΛΙΟΝ.

§. 176. Ὁ Τρόπος, μὲ τὸν ὁποῖον δοθέντων τριῶν Ὅρων, εὑρίσκομεν τὸν τέταρτον, καλεῖται Μέθοδος τῶν τριῶν, ἡ ὁποία κοινῶς εἰς τὸν ἀνθρώπινον βίον εἶναι πολλῆς ὠφελείας πρᾶξις, διὰ τοῦτο καὶ χρυσοῦς Κανὼν ὀνομάζεται· περὶ δὲ τῆς χρήσεως αὐτοῦ ἐν τῷ ἀκολούθῳ Κεφαλαίῳ πραγματευσόμεθα.

ΚΕΦΑΛΑΙΟΝ θ'.

Περὶ τοῦ χρυσοῦ Κανόνος, ἢ Μεθόδου τῶν Τριῶν.

ΟΡΙΣΜΟΣ α'.

§. 177. Χρυσοῦς Κανών, ἢ ἀναλογίας Κανών ἐστιν ἡ Μέθοδος, διὰ τῆς ὁποίας ὅταν δοθῶσιν τρεῖς Ὅροι, εὑρίσκεται ὁ τέταρτος Γεωμετρικῶς ἀνάλογος. ἐκ τῶν ὁποίων ἀποτελεῖται ἀναλογία, ἐπὶ τοῦ παρόντος πάντοτε ἐννοεῖται Γεωμετρική τις ἀναλογία, καὶ λόγος πρὸς αὐτὴν ἀνήκων.

ΠΟΡΙΣΜΑ.

§. 178. Ὅθεν καὶ αὕτη ἡ Μέθοδος γενικῶς λαμβανομένη, διαιρεῖται εἰς ἁπλῆν, καὶ Σύνθετον· καὶ ἁπλῆ μέν ἐστιν, ὅταν δίδωνται τρεῖς Ὅροι, καὶ ζητῆται ὁ τέταρτος, καὶ θεωρῶνται δύω λόγοι, ἥτις καὶ Μέθοδος τότε τῶν τριῶν ὀνομάζεται. Σύνθετος δέ, ὅταν δοθῶσιν πέντε, ἢ ἑπτὰ Ὅροι, καὶ ζητῆται ὁ ἕκτος, ἢ ὁ ὄγδοος, καὶ θεωρῶνται τρεῖς, ἢ τέσσαρες λόγοι, ἥτις τῶν πέντε, ἢ τῶν ἑπτὰ Μέθοδος καλεῖται ὑπὸ τῶν ἀριθμητικῶν. ἐπιδιαιρεῖται δὲ πάλιν εἰς Ὀρθὴν καὶ εἰς ἀντίστροφον, καὶ Ὀρθὴ μέν ἐστιν, ἐὰν ὁ πρῶτος

Ὅρος

Ὅρος ἔχῃ πρὸς τὸν δεύτερον, καθὼς ὁ τρίτος πρὸς τὸν ζητούμενον. ἀντίστροφος δὲ τυγχάνει, ὅταν ὁ πρῶτος Ὅρος ἔχῃ πρὸς τὸν δεύτερον, καθὼς ὁ ζητούμενος τέταρτος πρὸς τὸν δοθέντα τρίτον.

ΣΧΟΛΙΟΝ.

§. 179. Ἐφ' ἑκάστου Προβλήματος ταύτης τῆς Μεθόδου προϋποτίθενται δύω τινα, τὸ μὲν ἕν, ὡς πρᾶγμα γεγονός, ἢ δοθέν, τὸ δ' ἕτερον ὡς ποιητέον ἢ ζητητέον, ἀνάλογον ὅμως μὲ τὸ πρῶτον. π. χ. πρῶτον δίδεται, ὅτι τέσσαρες Μαθηταὶ δαπανῶσιν εἰς ἕνα Μῆνα 19 Γρόσια, ἔπειτα ζητεῖται, πόσα ἄραγε Γρόσια θέλουσι δαπανήσει εἰς τὸν αὐτὸν καιρὸν δώδεκα Μαθηταί; ἢ δίδοται πρῶτον, ὅτι ἕνας ἠγόρασε τρεῖς Πήχεις τινὸς πράγματος διὰ 7 Γρόσια, ἔπειτα ζητεῖται, πόσους ἄραγε Πήχεις τοῦ αὐτοῦ πράγματος δύναταί τις νὰ ἀγοράσῃ μὲ Γρόσια 21; ἢ πάλιν προϋποτίθεται, ὅτι 12 Σκαπανεῖς σκάπτουσιν ἐν μιᾷ ἡμέρᾳ 24 Ὀργυιάς, ἔπειτα ζητεῖται· Πόσας ἄραγε Ὀργυιὰς θέλουσι σκάψει πεντήκοντα Ἐργάται;

ΠΟΡΙΣΜΑ.

§. 180. Ἐντεῦθεν εἶναι φανερόν, ὅτι τὰ τῆς Μεθόδου τῶν Τριῶν ἐκ τεσσάρων Ὅρων συνίστανται, οἱ ὁποῖοι ἢ πάντες εἶναι τοῦ αὐτοῦ εἴδους, ἢ ἀνὰ δύω. καὶ ἀνὰ δύω μὲν εἰσί, καθὼς εἰς τὰ τρία πρόσθεν Παραδείγματα. οἷον οἱ ἀριθμοὶ τῶν Μαθητῶν ὁ 4, καὶ ὁ 12 εἰσὶν ὁμοειδεῖς, οἱ δὲ ἀριθμοὶ τῶν Γροσίων ὁ 19, καὶ ὁ ζητούμενος εἰσὶν ὁμοίως ὁμοειδεῖς μὲν ἀλλήλοις, ἑτεροειδεῖς δὲ μὲ τοὺς ἀνωτέρω δύω ἀριθμοὺς τῶν Μαθητῶν, κ. τ. ὁμοειδεῖς δὲ πάντες εἰσίν, ὅταν εἶναι τὰ τῆς ἀναλογίας, καθὼς ἐπὶ τούτου τοῦ Παραδείγματος: Τοκιστὴς διὰ 500 Γρόσια ἔλαβε Τόκον Γρόσια 30, διὰ δὲ 800 Γρόσια, πόσα Γρόσια θέλει λάβῃ;

ΣΧΟΛΙΟΝ.

§. 181. Ἐὰν δὲ ἡ Μέθοδος Σύνθετος ὑπάρχῃ, συνακολουθοῦσι τοὐλάχιστον ἄλλοι δύω Ὅροι Ὁμοειδεῖς. π. χ. ἐὰν εἰς τὸ ἀνω-

τέρω

γρα τρίτον Παράδειγμα προσεπιτεθῇ εἰς ζήτησιν οὕτως ἢ πόσας ἄραγε Ὀργυιὰς σκάψουσιν 50 Ἐργάται εἰς 8 ἡμέρας;

ΠΡΟΒΛΗΜΑ ά.

§. 182. Εἰς τὴν ἁπλῆν Μέθοδον πρὸς τοῖς δοθεῖσι τρισὶ Ὅροις νὰ εὕρωμεν τὸν τέταρτον ἀνάλογον.

ΛΥΣΙΣ, ἢ ΠΡΑΚΤΕΑ.

ά.) Ὁ Ὅρος, ὁ ὁποῖος εἶναι τοῦ αὐτοῦ εἴδους μὲ τὸν ζητούμενον τέταρτον, τίθεται εἰς τὸν τρίτον τόπον, οἱ δὲ λοιποὶ δύω, οἵτινες ἀλλήλοις εἰσὶν ὁμοειδεῖς, γράφονται εἰς τὸν πρῶτον καὶ δεύτερον Τόπον,

β'.) Ζητεῖται, ἂν κατὰ τὴν τοῦ Προβλήματος ὑπόθεσιν ὁ τέταρτος Ὅρος πρέπῃ νὰ εἶναι μείζων, ἢ ἐλάττων τοῦ τρίτου. ἔπειτα κατατάττεται ὁ πρῶτος καὶ δεύτερος Ὅρος οὕτως, ὥστε ὁ πρῶτος νὰ ἔχῃ πρὸς τὸν δεύτερον, ὡς ὁ τρίτος πρὸς τὸν ζητούμενον τέταρτον,

γ'.) Πολλαπλασιάζομεν τὸν δεύτερον καὶ τρίτον Ὅρον ὁμοῦ, καὶ διαιροῦμεν τὸ ἐκ τούτων Γινόμενον διὰ τοῦ πρώτου Ὅρου, καὶ τότε τὸ ἐκ τῆς Διαιρέσεως Πηλίκον ἐστὶν ὁ ζητούμενος τέταρτος Ὅρος.

ΠΑΡΑΔΕΙΓΜΑ ά.

Τέσσαρες Μαθηταὶ δαπανῶσιν εἰς ἕνα Μῆνα Γρόσ. 19. πόσα ἄραγε Γρόσ. θέλουσι δαπανήσει μαθηταὶ δώδεκα;

Ὁ δο-

Ὁ δοθεὶς ἀριθμὸς τῶν Γροσίων τίθεται εἰς τὸν τρίτον Τόπον, ὥσαν ὁποῦ αὖθις ἀριθμὸς Γροσίων προβάλλεται εἰς ζήτησιν. καὶ ἐπειδὴ 12 Μαθηταὶ δαπανῶσι περισσότερα, παρὰ οἱ 4 Μαθηταί, διὰ τοῦτο καὶ ὁ ζητούμενος ἀριθμὸς τῶν Γροσ. πρέπει νὰ εἶναι μείζων τοῦ δοθέντος 19 ἀριθμοῦ, καὶ ἑπομένως ὁ δεύτερος Ὅρος ἀνάγκη νὰ εἶναι μείζων τοῦ πρώτου, ἐπειδὴ ὃν λόγον ἔχουσιν οἱ 4 Μαθηταὶ πρὸς τοὺς πλείονας 12, τὸν αὐτὸν λόγον θέλουσιν ἔχῃ, καὶ τὰ 19 Γρόσια τὰ ὑπὸ τῶν τεσσάρων Μαθητῶν δαπανώμενα πρὸς τὰ ζητούμενα τὰ ὑπὸ τῶν 12 Μαθητῶν δαπανηθησόμενα, οἷον

Μαθ.		Μαθ.		Γρόσ.		Γρόσ.
4	:	12	=	19	:	χ

ἂν λοιπὸν οἱ Μέσοι Ὅροι ὑπ' ἀλλήλων πολλαπλασιασθῶσι 12×19, καὶ τὸ ἐκ τούτων Γινόμενον 128 διαιρεθῇ διὰ τοῦ πρώτου Ὅρου 4, προκύπτει Πηλίκον Γρόσια 57. καὶ τόσα θέλουσι δαπανήσει 12 Μαθηταὶ εἰς ἕνα Μῆνα.

ΣΧΟΛΙΟΝ ά.

§. 183. Ἐπειδὴ ἐφ' ἑκάστης Ὀρθῆς ἀναλογίας τὸ ἐκ τῶν ἄκρων Γινόμενον πρέπει νὰ εἶναι ἴσον τῷ ἐκ τῶν Μέσων Γινομένῳ, διὰ τοῦτο καὶ ἐν τῷ εἰρημένῳ Παραδείγματι ἂν ὁ εὑρεθεὶς τέταρτος Ὅρος εἶναι ἀνάλογος πρὸς τοὺς ἄλλους Ὅρους, τὸ ἐκ τῶν ἄκρων Γινόμενον εἶναι ἴσον μὲ τὸ ἐκ τῶν Μέσων Γινόμενον. ὅταν δὲ θέλῃ τινὰς νὰ πληροφορηθῇ ἐντελέστερον, ἐὰν εὑρέθη ἡ ζήτησις τοῦ Προβλήματος ἀληθῶς, τότε πολλαπλασιάζει τὸν πρῶτον Ὅρον μετὰ τοῦ εὑρεθέντος τετάρτου, καὶ ἂν τὸ ἐκ τούτων Γινόμενον ἴσον τυγχάνῃ μὲ τὸ ἐκ τοῦ δευτέρου καὶ τρίτου Γινόμενον, ἡ εὕρεσις τοῦ ζητουμένου ἐστὶν ἀληθής. δυνάμεθα ἔτι νὰ μεταχειρισθῶμεν καὶ κατὰ ἄλλον τρόπον τὴν δοκιμήν. λαμβάνομεν δηλαδὴ τὸν ἤδη εὑρεθέντα τέταρτον Ὅρον 57 ὡς διδόμενον, τὸν δὲ τούτῳ ὁμοειδῆ Ὅρον 19, ὡς

S 3 ζητού-

ζητούμενον, καὶ μετάθέτομεν εἰς ἀναλογίαν τοὺς Ὅρους κατὰ τὴν ἑξῆς ἐρώτησιν. ἐὰν 12 Μαθηταὶ εἰς ἕνα Μῆνα ἐξοδεύουσι 57 Γρόσια, πόσα ἄραγε Γρόσ. θέλουσιν ἐξοδεύσει 4 Μαθηταί; οἷον

$$\begin{array}{ccccccc} \text{Μαθ.} & & \text{Μαθ.} & & \text{Γρόσ.} & & \text{Γρόσ.} \\ 12 & : & 4 & = & 57 & : & \chi \end{array}$$

τουτέστι $12\chi = 4 \times 57 = 228$

ἄρα $\chi = \frac{228}{12} = 19$ ὅπερ ἔδει εὑρεῖν.

ΠΑΡΑ'ΔΕΙΓΜΑ β'.

Τρεῖς Πήχεις ὑφάσματός τινος πωλοῦνται ὁμοῦ 7 Γρόσια· λοιπὸν πόσους Πήχεις τοῦ αὐτοῦ ὑφάσματος δύναταί τις νὰ ἀγοράσῃ μὲ Γρόσια 21;

Α'ΠΑ'ΝΤΗΣΙΣ.

Ἐπειδὴ μὲ 21 Γρόσ. ἀγοράζει τινὰς πλείονας Πήχεις, παρὰ μὲ 7 Γρόσ., διὰ τοῦτο καὶ ὁ τέταρτος Ὅρος, ὁ ζητούμενος ἀριθμὸς τῶν Πήχεων πρέπει νὰ εἶναι μείζων. ὅθεν γίνεται ἡ ἑξῆς ἀναλογία ὡς ἔλαττον πρὸς μεῖζον, οὕτως ἔλαττον πρὸς μεῖζον, οἷον

$$\begin{array}{ccccccc} \text{Γροσ.} & & \text{Γροσ.} & & \text{Πηχ.} & & \text{Πηχ.} \\ 7 & : & 21 & = & 3 & : & \chi \end{array}$$

καὶ διὰ τῆς πολλαπλασιάσεως γίνεται $21 \times 3 = 63$ τῶν ὁποίων διαιρεθέντων διὰ τοῦ 7, τὸ Πηλίκον ἔσται $= 9$ Πηχ.

ΠΑΡΑ'ΔΕΙΓ. γ'.

Ἐργάται 30 σκάπτουσι 24 Ὀργυιάς. πόσας ἄραγε Ὀργυιὰς θέλουσι σκάψει 50 Ἐργάται;

Α'ΠΑ'Ν.

Α'ΠΑΝΤΗΣΙΣ.

Ἐπειδὴ οἱ 50 Ἐργάται δύνανται νὰ σκάψωσι πλείονας Ὀργυιάς, παρὰ οἱ 30 Ἐργάται. διὰ τοῦτο καὶ ὁ τέταρτος Ὅρος πρέπει νὰ εἶναι μείζων τοῦ 24, καὶ ἐπομένως ὁ δεύτερος Ὅρος πρέπει νὰ εἶναι μείζων τοῦ πρώτου, οἷον

$$\begin{array}{ccccccc} \text{Ἐργ.} & & \text{Ἐργ.} & & \text{Ὀργ.} & & \text{Ὀργ.} \\ 30 & : & 50 & = & 24 & : & \chi \end{array}$$

$\frac{24 \times 50}{30} = 40$ ὅπερ ἐστὶν ὁ ζητούμενος ἀριθμός,

ΠΑΡΑ'ΔΕΙΓΜΑ δ'.

Θερισταὶ 8 τελειώνουσί τινα, φέρ' εἰπεῖν, Ἐργασίαν ἐν τῷ ἀγρῷ εἰς 12 ἡμέρας. θερισταὶ λοιπὸν 24 εἰς πόσας ἡμέρας θέλουσι τελειώσει τὴν αὐτὴν Ἐργασίαν;

Α'ΠΑ'ΝΤΗΣΙΣ.

Ἐπειδὴ οἱ πλείονες θερισταὶ τελειώνουσί τινα Ἐργασίαν εἰς ὀλίγας ἡμέρας, παρὰ οἱ ἐλάττονες, διὰ τοῦτο καὶ ὁ ζητούμενος Ὅρος πρέπει νὰ εἶναι Ἐλάσσων τοῦ 12. ὅθεν καὶ ὁ δεύτερος Ὅρος ἔσται Ἐλάσσων τοῦ πρώτου.

$$\begin{array}{ccccccc} \text{θερ.} & & \text{θερ.} & & \text{ἡμερ.} & & \text{ἡμερ.} \\ 24 & : & 8 & = & 12 & : & \chi \end{array}$$

ὁ ζητούμενος ἔσται $\frac{8 \times 12}{24} = 4$

ΠΑΡΑ'ΔΕΙΓ. ε'.

Μία Ποσότης τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐξαρκεῖ 30 ἡμέρας διὰ 24 στρατιώτας. πόσας ἄραγε ἡμέρας

S 4

ρας θέλει ἐξαρκέσει ἡ αὐτὴ ποσότης διὰ 40 στρατιώτας.

ΑΠΑΝΤΗΣΙΣ.

Ἐπειδὴ τὰ πρὸς τροφὴν ἀναγκαῖα ἐξαρκοῦσιν ὀλιγωτέρας ἡμέρας ὅταν ὦσι πλείονες στρατιῶται, διὰ τοῦτο καὶ ἐνταῦθα κατὰ τὴν τοῦ Προβλήματος ὑπόθεσιν, πρέπει ὁ ζητούμενος Ὅρος νὰ εἶναι μικρότερος τοῦ τρίτου. ὅθεν καὶ ὁ δεύτερος θέλει εἶναι μικρότερος τοῦ πρώτου Ὅρου. οἷον

$$40 : 24 = 30 : \chi$$

$$\chi = \frac{720}{40} = 18$$ τόσας ἡμέρας θέλουσιν ἐξαρκέσει τὰ ἐπιτήδεια διὰ 40 στρατιώτας.

ΣΧΟΛΙΟΝ β'.

§. 184. Ὅταν δὲ ὦσι Μικταί, ἢ Ἑτερογενεῖς Ποσότητες, πρέπει πρῶτον νὰ μεταποιήσωμεν τοὺς ἀκεραίους, ἢ μείζονας εἰς τὸ μικρότερον εἶδος διὰ τῆς ἀναλύσεως, ἔπειτα νὰ ἀποκαταστήσωμεν τὰ ἀναλυθέντα Μέρη εἰς ἁπλᾶ κλάσματα. π. χ. $3\frac{3}{4}$ Πήχαι ὑφάσματός τινος ἀγοράζονται διὰ 19 Γρόσια καὶ 30 Παράδες. πόσον ἄραγε ἀγορασθήσεται ἕνας Πῆχυς;

$$\underset{\text{Πηχ.}}{\frac{15}{4}} : \underset{\text{Παραδ.}}{\frac{790}{1}} = \frac{1}{1} : \chi$$

ὅθεν ὁ τέταρτος Ὅρος ἔσται 210 Παραδ. ἤτοι 5 Γρόσ. καὶ 10 Παράδες.

ΣΧΟΛΙΟΝ γ'.

§. 185. Ἐντεῦθεν ἀναφύεται ἡ Μέθοδος, κατὰ τὴν ὁποίαν δυνάμεθα ἄνευ τινὸς παραφθορᾶς τῆς δυνάμεως νὰ μεταβάλλωμεν

ἕκαστον

ἕκαστον Κλάσμα εἰς ἕτερον, τοῦ ὁποίου ὁ Παρονομαστὴς εἶναι δεδομένος, ἢ νὰ εὑρίσκωμεν τὴν δύναμιν ἑκάστου Κλάσματος εἰς τὰ ἁπλούστερα μέρη τοῦ ὅλου, εἴτε νομίσματος, εἴτε μέτρου, εἴτε ἄλλης τινὸς ὀνομασίας τούτου ὄντος. διότι ἐπειδὴ κάθε Κλάσμα λόγος ἐστὶν ὡς ἐν τῷ (§. 136) δεδήλωται, διὰ τοῦτο καὶ δύω Ἴσα Κλάσματα δύνανται νὰ καταστρωθῶσιν εἰς ἀναλογίαν οὕτως, ὥστε ὁ Παρονομαστὴς τοῦ ἑνὸς Κλάσματος νὰ ἔχῃ πρὸς τὸν ἀριθμητὴν τοιοῦτον λόγον, ὅν τινα λόγον ἔχει ὁ Παρονομαστὴς τοῦ ἑτέρου Κλάσματος πρὸς τὸν ἑαυτοῦ ἀριθμητήν. ὅθεν ὁ δοθεὶς Παρονομαστὴς ἔσται ὁ τρίτος Ὅρος τῆς ἀναλογίας, πρὸς τὸν ὁποῖον ζητεῖται ἕνας ἀριθμητής. ἐὰν λοιπὸν θέλωμεν νὰ μάθωμεν τὸ $\frac{3}{4}$ ἑνὸς φέρ' εἰπεῖν, Γροσίου μὲ πόσους Παράδας ἐξισοῦται, πρέπει νὰ ζητήσωμεν πρὸς τὸν 40 Παρονομαστὴν τὸν ἀριθμητήν, λέγοντες οὕτως $4 : 3 = 40 : 30$, καὶ $\frac{30}{40}$ εἶναι ἴσον μὲ τὸ $\frac{3}{4}$, οὕτως αὖθις γίνεται καὶ $\frac{2}{3}$ τοῦ ποδὸς εἰς δακτύλους, ἢ δωδεκατημόρια, οἷον $3 : 2 = 12 : 8$, καὶ 8 δάκτυλοι εἰσιν $\frac{2}{3}$ τοῦ ποδός (*).

ΠΡΟΒΛΗΜΑ β'.

§. 186. Ἐὰν δοθῶσι πέντε, ἢ ἑπτὰ Ὅροι μιᾶς Συνθέτου Μεθόδου, νὰ εὕρωμεν τὸν ἕκτον, ἢ ὄγδοον ἀνάλογον Ὅρον.

ΠΡΑΚΤΕΑ.

(*) Οἱ δάκτυλοι καὶ ὁ πούς ἐνταῦθα λαμβάνονται οὐχὶ κατὰ τὴν Γεωγραφικὴν (§. 53 ἀριθμητικῇ) χρῆσιν, ἀλλὰ κατὰ τὴν τοῦ μάκρους, ὅτι δηλαδὴ δώδεκα δάκτυλοι συμπληροῦσιν ἕνα πόδα.

ΠΡΑΚΤΕΑ.

α.) Ὁ Ὅρος, ὅστις εἶναι τοῦ αὐτοῦ εἴδους μὲ τὸν ζητούμενον, τίθεται εἰς τὸν τρίτον τόπον.

β΄. Οἱ μὲν δύω Ὁμοειδεῖς Ὅροι τίθενται εἰς τὸν πρῶτον καὶ δεύτερον τόπον, καθὼς προείρηται. οἱ δὲ λοιποὶ Ὅροι ἐγκαταλείπονται ἐν τοσούτῳ, καὶ παρορῶνται, ὡς μὴ προκείμενοι εἰς τὴν ὑπόθεσιν, καὶ οὕτω διὰ τῶν τριῶν ζητεῖται ὁ τέταρτος Ὅρος κατὰ τὸν πρότερον ῥηθέντα Κανόνα.

γ΄.) Ὁ μὲν εὑρεθεὶς τέταρτος Ὅρος φέρεται πάλιν εἰς ἄλλην νέαν ἀναλογίαν, καὶ τίθεται εἰς τὸν τρίτον τόπον, οἱ δὲ λοιποὶ προεγκαταλειφθέντες δύω Ὁμοειδεῖς Ὅροι, ἐπέχουσι κατὰ τὴν προτεθεῖσαν διδασκαλίαν τὸν πρῶτον καὶ δεύτερον τόπον, ἔπειτα πολλαπλασιάζονται οἱ Μέσοι Ὅροι μετ᾽ ἀλλήλων, καὶ τὸ ἐκ τούτων Γινόμενον διαιρεῖται διὰ τοῦ πρώτου Ὅρου, καὶ οὕτω τὸ Πηλίκον ἔσται ὁ ζητούμενος τέταρτος Ὅρος.

δ΄.) Ὁ μὲν ἐν τῇ δευτέρᾳ ἀναλογίᾳ εὑρεθεὶς Ὅρος τίθεται πάλιν (τοῦτο ἀκολουθεῖ ὅταν δίδωνται ἑπτὰ Ὅροι, καὶ ζητῆται ὁ ὄγδοος) εἰς τὸν τρίτον τόπον ἄλλης τρίτης ἀναλογίας, οἱ δὲ λοιποὶ ἔτι δύω προεγκαταλειφθέντες Ὅροι (οἱ ὁποῖοι ἀλλήλοις μὲν εἰσὶν Ὁμοειδεῖς, μὲ τοὺς ἄλλους ὅμως ἑτεροειδεῖς) τίθενται εἰς τὸν πρῶτον καὶ δεύτερον τόπον, ἔπειτα ζητεῖται ὁμοίως ὁ τέταρτος Ὅρος.

ΠΑΡΑΔΕΙΓΜΑ α΄.

Ἵπποι 8 τρέφονται μὲ 9 σακκία Κριθῆς, ἢ βρώμης ἡμέρας 12, ζητεῖται λοιπόν, 16 Ἵπποι μὲ 24 σακκία πόσας ἡμέρας θέλουσι τραφῇ.

ΑΠΑΝ-

ΑΠΑΝΤΗΣΙΣ.

Αἱ μὲν 12 ἡμέραι κατέχουσι τὸν τρίτον τόπον, εἰς δὲ τὸν πρῶτον καὶ δεύτερον τίθενται κατ᾽ ἀρχὰς οἱ ἀριθμοί (ὁ 16 δηλαδὴ καὶ 8) τῶν Ἵππων, τὰ δὲ σακκία ἐν τοσούτῳ ἐγκαταλείπονται. Καὶ ἐπειδὴ μία Ποσότης Κριθῆς, ἥτις πρὸς τροφὴν 8 Ἵππων εἶναι ἱκανὴ εἰς δώδεκα ἡμέρας, διὰ 16 Ἵππους διαρκεῖ ὀλιγώτερον χρόνον, διὰ τοῦτο καὶ ὁ ζητούμενος τέταρτος Ὅρος ἔσται ἐλάσσων τοῦ τρίτου, καθὼς καὶ ὁ δεύτερος μικρότερος ἀπὸ τὸν πρῶτον.

$$\overset{\text{Ἵπ.}}{16} : \overset{\text{Ἵπ.}}{8} = \overset{\text{ἡμ.}}{12} : \overset{\text{ἡμ.}}{6}$$

Ὁ εὑρεθεὶς Ὅρος 6 φέρεται αὖθις εἰς τὸν τρίτον τόπον δευτέρας ἀναλογίας, ἐπὶ τῆς ὁποίας τίθενται οἱ ἀριθμοὶ (ὁ 9, καὶ 24) τῶν σακκίων εἰς τὸν πρῶτον καὶ δεύτερον τόπον, ἔπειτα ἐπειδὴ εἰς ἕνα ἀριθμὸν Ἵππων (πρὸς τροφὴν τῶν ὁποίων 9 σακκία εἰσὶν ἱκανὰ εἰς ἡμέρας 6) διαρκοῦσιν 24 σακκία πλείονας ἡμέρας, διὰ τοῦτο ὁ τέταρτος Ὅρος ἔσται μείζων τοῦ τρίτου, καὶ ἐπομένως ὁ δεύτερος μείζων τοῦ πρώτου, ἐξ ὧν γίνεται

$$\overset{\text{σακ.}}{9} : \overset{\text{σακ.}}{24} = \overset{\text{ἡμ.}}{6} : \overset{\text{ἡμ.}}{16}$$

ἄρα 24 σακκία Κριθῆς εἰς τροφὴν 16 Ἵππων ἐξαρκοῦσιν 16 ἡμέρας.

ΠΑΡΑΔΕΙΓΜΑ β΄.

Οἰκοδόμοι 4 κτίζουσιν εἰς 3 ἡμέρας Ὀργυιὰς 5. ζητεῖται οὖν, πόσας Ὀργυιὰς θέλουσι κτίσει 5 οἰκοδόμοι εἰς ἑπτὰ ἡμέρας;

$$\overset{\text{Οἰκ.}}{4} : \overset{\text{Οἰκ.}}{5} = \overset{\text{Ὀργ.}}{5} : \overset{\text{Ὀργ.}}{x}$$

$$\text{ἄρα } x = \frac{25}{4} \text{ ἢ } = 6\,\frac{1}{4}$$

ἔπειτα ὁ εὑρεθεὶς τέταρτος Ὅρος ὁ $\frac{25}{4}$, ἢ ὁ $6 + \frac{1}{4}$

τίτετίθεται αὖθις εἰς τὸν τρίτον τόπον ἄλλης δευτέρας ἀναλογίας, οἷον

$$\overset{\text{ἡμ.}}{3} : \overset{\text{ἡμ.}}{7} = \overset{\text{ὀργ.}}{\frac{25}{4}} : \overset{\text{ὀργ.}}{x}$$

$$3x = \frac{7}{1} \times \frac{25}{4} \text{ ἤγουν } \frac{175}{4}.$$

$$\text{ὅθεν } x = \frac{175}{12} \text{ ὅπερ ἐστὶν } = 14 + \frac{7}{12}.$$

Οἰκοδόμοι ἄρα πέντε εἰς 7 ἡμέρας κτίζουσιν $14 + \frac{7}{12}$ Ὀργυιάς.

ΠΑΡΑΔΕΙΓΜΑ γʹ.

Γρόσια 3550 φέρουσιν 1420 Γρόσ. κέρδος εἰς 10 ἔτη. ζητεῖται λοιπὸν, πόσον κέρδος θέλουσι φέρῃ 50000 Γρόσια εἰς χρόνους 20;

$$\overset{\text{Γρόσ.}}{3550} : \overset{\text{Γρόσ.}}{50000} = \overset{\text{Κέρδ.}}{1420} : x$$

$$\overset{\text{χρ.}}{10} : \overset{\text{χρ.}}{20} = x$$

Τὸ πρῶτον εὑρεθὲν x εἶναι $= 20000$ ἀριθ. τὸν ὁποῖον θέτοντες εἰς τὸν τρίτον τόπον τῆς δευτέρας ἀναλογίας, πορίζόμεθα τὰ ἑξῆς $10:20 = 20000:40000$, ὅθεν εἶναι φανερὸν, ὅτι τὰ 50000 Γρόσια εἰς 20 ἔτη φέρουσι κέρδος 40000 Γρόσια.

ΣΧΟ.

ΣΧΟΛΙΟΝ.

§. 187. Ἐντεῦθεν προκύπτει μία ἀλγεβραϊκῶς γενικὴ Ἔκθεσις περὶ ἑκάστου κέρδους, ἢ τόκου ὁποιασδήποτε Ποσότητος, καὶ μάλιστα διὰ τινὰς ἡμέρας τοῦ χρόνου θεωρουμένης. ἐπειδὴ τὸ κέρδος ἑκάστης ποσότητος ἔχει λόγον τινὰ, καὶ σχέσιν πρὸς τὸ κέρδος, ὅπου φέρουσι, φέρ' εἰπεῖν, 100 Γρόσια, διὰ τοῦτο ἡ μὲν πρώτη ἀναλογία πρέπει νὰ γένῃ οὕτως, ὡς τὰ 100 Γρόσια πρὸς τὸ κέρδος των, οὕτως ἡ δοθεῖσα Ποσότης πρὸς τὸ κέρδος της, ἡ δὲ δευτέρα ἀναλογία οὕτως, ὡς ἓν ἔτος (ἢ 360 ἡμέραι) πρὸς τὰς ἡμέρας, διὰ τὰς ὁποίας ζητεῖται τὸ κέρδος, οὕτω τὸ ἐν τῇ πρώτῃ ἀναλογίᾳ εὑρεθὲν κέρδος πρὸς τὸ εἰς ζήτησιν προτεθέμενον κέρδος, ὅπερ ἀνήκει εἰς τὰς δεδομένας ἡμέρας. ἔστω τὸ κέρδος τῶν 100 Γροσίων $= 1$. ἡ δὲ δοθεῖσα ποσότης $= \pi$, καὶ αἱ δοθεῖσαι ἡμέραι $= \eta$. ὅθεν γίνεται ἡ ἑξῆς ἀναλογία.

$$100 : 1 = \pi : \frac{1\pi}{100}. \text{ ἔπειτα}$$

$$360 : \eta = \frac{1\pi}{100} : \frac{1\pi\eta}{36000}.$$

Ὅταν ὅμως ὑποτεθῇ, ὅτι τὰ 100 Γρόσ. φέρουσι κέρδος 4, τότε ἀντὶ τῆς 1, τίθεται ὁ 4 ἀριθμός. καὶ ἡ γενικὴ Ἔκθεσις ἔσται $\frac{4\pi\eta}{36000}$. δυνάμεθα ὅμως νὰ φέρωμεν τοῦτο τὸ Κλάσμα εἰς μικροτέραν Ἔκθεσιν διὰ τῆς διαιρέσεως, οἷον $\frac{\pi\eta}{9000}$, καὶ ἀφ' οὗ πάλιν διαιρεθῇ ὁ ἀριθμητὴς διὰ τοῦ Παρονομαστοῦ, τὸ προκύπτον Πηλίκον ἔσται τὸ ζητούμενον κέρδος. ἐὰν ὅμως θέλωμεν νὰ μεταβληθῇ ἡ δύναμις εἰς Παράδες, πολλαπλασιάζομεν τὸν ἀριθμητὴν τοῦ Κλάσματος διὰ τοῦ 40 (§. 185), καὶ τότε ἡ Ἔκθεσις αὕτη $\frac{\pi\eta}{9000}$ μεταβάλλεται εἰς $\frac{40\pi\eta}{9000}$, τὸ ὁποῖον δυνάμεθα αὖθις νὰ τὸ φέρωμεν διὰ τῆς διαιρέσεως εἰς μικροτέραν Ἔκθεσιν, οἷον εἰς τὴν $\frac{2\pi\eta}{450}$, καὶ τοῦτο τὸ Κλάσμα

μα

μια δηλοῖ, ὅτι ἡ ποσότης τῶν χρημάτων πεπολλαπλασιασμένη τυγχάνει διὰ τοῦ διπλασίου ἀριθμοῦ τῶν ἡμερῶν, καὶ τὸ ἐκ τούτου Γινόμενον διαιρεῖται διὰ τοῦ 450, τὸ δὲ ἐκ τῆς διαιρέσεως Πηλίκον εἶναι τὸ ζητούμενον κέρδος εἰς Παράδ. οἷον αἱ μὲν ἡμέραι ἑνὸς ὁλοκλήρου ἔτους λογίζονται $=$ 360, ἑνὸς δὲ μηνὸς $=$ 30, λοιπὸν ἂν προβληθῇ εἰς ζήτησιν, πόσον κέρδος φέρει μία Ποσότης ἀπὸ 6000 Γρόσ. εἰς 6 ἡμέρας; ποιοῦμεν κατὰ μὲν τὴν πρώτην $\left(\frac{\pi\,\eta}{9000}\right)$ Ἔκθεσιν οὕτως $\frac{6000 \times 6}{9000} = 4$ Γρόσ. τὰ ὁποῖα εἶναι τὸ ζητούμενον κέρδος, κατὰ δὲ τὴν δευτέραν $\left(\frac{2\,\pi\,\eta}{450}\right)$ ποιοῦμεν οὕτως $\frac{6000 \times 12}{450} = 160$ Παράδ. τὰ ὁποῖα εἰσὶν ἴσα μὲ 4 Γρόσια. Ὅταν δὲ προϋποτεθῇ, ὅτι ὁ ἐτήσιος (χρονικὸς) τόκος τῶν 100 Γροσίων εἶναι $=$ 2, 3, 5, κ. τ. ἢ 1 $\frac{1}{2}$, 2 $\frac{1}{2}$, 3 $\frac{1}{3}$ Γρόσ. κ. τ. τότε ἀντὶ τοῦ 1 τίθεται ὁ προϋποτεθεὶς ἀριθμὸς τοῦ Τόκου, καὶ κατ' αὐτὸν τὸν τρόπον πραγματευόμεθα εἰς κάθε περίστασιν.

ΠΑΡΑΔΕΙΓ. δ'.

